αὐτούς, καὶ ἦσαν τεταραγμένοι. [7]καὶ ἠρώτα τοὺς εὐνούχους Φαραω, 7
οἳ ἦσαν μετ᾽ αὐτοῦ ἐν τῇ φυλακῇ παρὰ τῷ κυρίῳ αὐτοῦ, λέγων
Τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον; [8]οἱ δὲ εἶπαν 8
αὐτῷ Ἐνύπνιον εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. εἶπεν
δὲ αὐτοῖς Ιωσηφ Οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν;
διηγήσασθε οὖν μοι. — [9]καὶ διηγήσατο ὁ ἀρχιοινοχόος τὸ ἐνύ- 9
πνιον αὐτοῦ τῷ Ιωσηφ καὶ εἶπεν Ἐν τῷ ὕπνῳ μου ἦν ἄμπελος
ἐναντίον μου· [10]ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς πυθμένες, καὶ αὐτὴ θάλ- 10
λουσα ἀνενηνοχυῖα βλαστούς· πέπειροι οἱ βότρυες σταφυλῆς. [11]καὶ 11
τὸ ποτήριον Φαραω ἐν τῇ χειρί μου· καὶ ἔλαβον τὴν σταφυλὴν
καὶ ἐξέθλιψα αὐτὴν εἰς τὸ ποτήριον καὶ ἔδωκα τὸ ποτήριον εἰς
τὰς χεῖρας Φαραω. [12]καὶ εἶπεν αὐτῷ Ιωσηφ Τοῦτο ἡ σύγκρισις 12
αὐτοῦ· οἱ τρεῖς πυθμένες τρεῖς ἡμέραι εἰσίν· [13]ἔτι τρεῖς ἡμέραι 13
καὶ μνησθήσεται Φαραω τῆς ἀρχῆς σου καὶ ἀποκαταστήσει σε ἐπὶ
τὴν ἀρχιοινοχοΐαν σου, καὶ δώσεις τὸ ποτήριον Φαραω εἰς τὴν
χεῖρα αὐτοῦ κατὰ τὴν ἀρχήν σου τὴν προτέραν, ὡς ἦσθα οἰνοχοῶν.
[14]ἀλλὰ μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ σοι γένηται, καὶ ποιή- 14
σεις ἐν ἐμοὶ ἔλεος καὶ μνησθήσῃ περὶ ἐμοῦ Φαραω καὶ ἐξάξεις με
ἐκ τοῦ ὀχυρώματος τούτου· [15]ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Εβραίων 15
καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ᾽ ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦ-
τον. — [16]καὶ εἶδεν ὁ ἀρχισιτοποιὸς ὅτι ὀρθῶς συνέκρινεν, καὶ 16
εἶπεν τῷ Ιωσηφ Κἀγὼ εἶδον ἐνύπνιον καὶ ᾤμην τρία κανᾶ χον-
δριτῶν αἴρειν ἐπὶ τῆς κεφαλῆς μου· [17]ἐν δὲ τῷ κανῷ τῷ ἐπάνω 17
ἀπὸ πάντων τῶν γενῶν, ὧν ὁ βασιλεὺς Φαραω ἐσθίει, ἔργον σι-
τοποιοῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατήσθιεν αὐτὰ ἀπὸ τοῦ
κανοῦ τοῦ ἐπάνω τῆς κεφαλῆς μου. [18]ἀποκριθεὶς δὲ Ιωσηφ εἶπεν 18
αὐτῷ Αὕτη ἡ σύγκρισις αὐτοῦ· τὰ τρία κανᾶ τρεῖς ἡμέραι εἰσίν·
[19]ἔτι τριῶν ἡμερῶν ἀφελεῖ Φαραω τὴν κεφαλήν σου ἀπὸ σοῦ καὶ 19
κρεμάσει σε ἐπὶ ξύλου, καὶ φάγεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς
σάρκας σου ἀπὸ σοῦ. — [20]ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἡμέρα 20
γενέσεως ἦν Φαραω, καὶ ἐποίει πότον πᾶσι τοῖς παισὶν αὐτοῦ.
καὶ ἐμνήσθη τῆς ἀρχῆς τοῦ ἀρχιοινοχόου καὶ τῆς ἀρχῆς τοῦ ἀρχι-
σιτοποιοῦ ἐν μέσῳ τῶν παίδων αὐτοῦ [21]καὶ ἀπεκατέστησεν τὸν 21
ἀρχιοινοχόον ἐπὶ τὴν ἀρχὴν αὐτοῦ, καὶ ἔδωκεν τὸ ποτήριον εἰς
τὴν χεῖρα Φαραω, [22]τὸν δὲ ἀρχισιτοποιὸν ἐκρέμασεν, καθὰ συνέ- 22
κρινεν αὐτοῖς Ιωσηφ. [23]οὐκ ἐμνήσθη δὲ ὁ ἀρχιοινοχόος τοῦ Ιω- 23
σηφ, ἀλλὰ ἐπελάθετο αὐτοῦ.
[1]Ἐγένετο δὲ μετὰ δύο ἔτη ἡμερῶν Φαραω εἶδεν ἐνύπνιον. 41
ᾤετο ἑστάναι ἐπὶ τοῦ ποταμοῦ, [2]καὶ ἰδοὺ ὥσπερ ἐκ τοῦ ποταμοῦ 2
ἀνέβαινον ἑπτὰ βόες καλαὶ τῷ εἴδει καὶ ἐκλεκταὶ ταῖς σαρξὶν καὶ

8 ουκ εστιν / αυτο M] tr. A || 17 γενων] γενηματων A†